eul_wid: mgc-aa

*Ἡλιόδωρος ὁ Ἀθηναῖος* · Heliodorus of Athens

# On the Athenian Acropolis

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

t1-6 ΠΕΡΙ ΤΗΣ ΑΘΗΝΗΣΙ ΑΚΡΟΠΟΛΕΩΣ. E LIBRO PRIMO.

1 Harpocratio v. Προπύλαια ταῦτ α . —Περὶ δὲ τῶν Προπυλαίων τῆς ἀκροπόλεως, ὡς ἐπὶ Εὐθυμένους ἄρχοντος οἰκοδομεῖν ἤρξαντο Ἀθηναῖοι, Μνησικλέους ἀρχιτεκτοῦντος, ἄλλοι τε ἱστορήκασι καὶ Φιλόχορος ἐν τῇ δʹ. Ἡλιόδωρος δ’ ἐν αʹ Περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως μεθ’ ἕτερα καὶ ταῦτά φησιν· «Ἐν ἔτεσι μὲν εʹ παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη δισχίλια ιβʹ· εʹ δὲ πύλας ἐποίησαν, δι’ ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασιν.» Idem: Νίκη Ἀθην ᾶ . [5]

2 Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. Ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον μὲν ἐν τῇ δεξιᾷ ῥόαν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ’ Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ἐν τῷ αʹ Περὶ ἀκροπόλεως. Athenaeus IX: Ἡλιόδωρος δ’ ὁ περιηγητὴς ἐν πρώτῳ Περὶ ἀκροπόλεως· «Τῆς τῶν πυρῶν (φησιν) ἑψήσεως ἐπινοηθείσης οἱ μὲν παλαιοὶ πύανον, οἱ δὲ νῦν ὁλόπυρον προσαγορεύουσιν. [5]

3 » E LIBRIS INCERTIS.

4 Harpocratio: Θέτταλος · Λυσίας Κατὰ Νικίδου. Εἷς τῶν Κίμωνος παίδων Θέτταλος ἐκαλεῖτο, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ Περὶ ἀκροπόλεως. Athenaeus VI: Ἀριστοφάνης δ’ ὁ κωμῳδιοποιὸς (ὅν φησιν Ἡλιόδωρος ὁ Ἀθηναῖος ἐν τοῖς Περὶ ἀκροπόλεως, πεντεκαίδεκα δ’ ἐστὶ ταῦτα βιβλία, Ναυκρατίτην εἶναι γένος) κτλ.

6 Idem II: Ἡλιόδωρος δέ φησι τὸν Ἐπιφανῆ Ἀντίοχον, ὃν διὰ τὰς πράξεις Πολύβιος Ἐπιμανῆ καλεῖ, τὴν κρήνην τὴν ἐν Ἀντιοχείᾳ κεράσαι οἴνῳ· καθάπερ καὶ τὸν Φρύγα Μίδαν φησὶ Θεόπομπος, ὅτε ἑλεῖν τὸν Σειληνὸν ὑπὸ μέθης ἠθέλησεν. ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙ ΤΡΙΠΟΔΩΝ. [5]

7 Harpocratio: Ὀνήτω ρ . Ἰσοκράτης ἐν τῷ Περὶ τῆς ἀντιδόσεως. Πρὸς τοῦτον ἂν εἶεν οἱ γεγραμμένοι Δημοσθένους Περὶ τῆς ἐξούλης λόγοι. Ὅτι δὲ τῶν χορηγησάντων ἦν, Ἡλιόδωρος Περὶ τῶν Ἀθήνησι τριπόδων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org